στοιχεῖα ποιάπως πρὸς γέννησιν, καὶ τὸ ἐνδόσιμον τῆς κινήσεως ἐν τῇ ἑνώσει, καὶ μίξει τῶν ἀπαιτουμένων εἰς τὴν κατ' εἶδος τοῦ ζώου γέννησιν φέρουσα, ὁ δὲ καρπὸς τῶν φυτῶν, αὐτόχρημα ἐστι κύημα, ἐν γὰρ τοῖς ἄνθεσι τελεῖται ἡ σύλληψις, καὶ κυοφορεῖται ἐκ τούτων ἡ γέννησις, κἀκείνοις προφανέστατα ἐνορᾶται τὸ ἄῤῥεν, καὶ θῆλυ τὸ ἴδιον ἔργον ποιοῦν, καὶ τὸ μὲν τὸ θερμότερον, καὶ πνευματωδέστερον καὶ δραστικώτερον, τὸ δὲ τὸ ὑγρότερον, καὶ παθητικώτερον εἰς μίξιν, καὶ ἕνωσιν ὑπάγον τῇ φύσει τελεσιουργεῖ τὴν γέννησιν, ἧς ἡ ἐργασία ἐν τοῖς καρποῖς περαίνεται λήγουσα. ἄλλως τε πολλή τις ἡ διαφορὰ φυτῶν καὶ ζώων. πᾶσα γὰρ ἡ τῶν φυτῶν φύσις ὁμοιομερής ἐστι, καὶ καρποὶ ἄρα καὶ κλόνοι, καὶ στελέχη καὶ ῥίζαι σπερματικὴν ἔχουσι δύναμιν, καὶ τὸ αὐτὸ εἶδος ἐκ πάντων τούτων γεννᾶται, εἰ τροφῆς ἀναλόγου τύχῃ. ἀπὸ δὲ τῶν ζώων, ἄλλο μὲν εἶδος ζώου ἐκτραπέντων καὶ σεσηπότων τῶν μελῶν γένοιτ' ἂν τὸ δ' ὅμοιον δι' ὁδοῦ εὐτάκτου, καὶ ἀρχῶν τῶν πρώτων, καὶ ὡρισμένων ἀεὶ γεννᾶται, καθ' εἱρμὸν συνερχομένων τῶν στοιχείων, καὶ κατὰ λόγους, καὶ σχέσεις ἀμοιβαδὸν ἰδιαιτέρας ἡνωμένων, ὡς εἴρηται.

## Περὶ Αὐξήσεως καὶ Τροφῆς.

Διττὴ δὲ ἡ αὔξησις τῶν σωμάτων, τοῖς μὲν ἀψύχοις κατὰ πρόσθεσιν μόνον, τοῖς δὲ ἐμψύχοις κατὰ ἀνάδοσιν. καὶ ἡ μὲν καθ' ἕξιν, ἡ δὲ κατὰ φύσιν. ἕ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ξις γάρ ἐςι πνεῦμα ὑπὸ τῶν μέσων ἐπὶ τὰ ἄκρα ἀποτεινόμενον, ἐφ' ὧν ψαῦσαν τῆς ἐπιφανείας, ἐπαναςρέφει καθ' ἑαυτὸ, καὶ ἀνακάμπτει πάλιν, ἀφ' ὧν ἤρξατο πρῶτον. φύσις δὲ κρᾶμα ἐκ διαφόρων δυνάμεων. ψυχὴ δὲ φύσεως τρισὶ διαλλάττει, αἰθήσει, φαντασίᾳ, καὶ ὁρμῇ. γίνεται γὰν ἡ μὲν καθ' ἁπλῶν πρόθεσιν θέσει, ἀλλοιώσει, καὶ συνολκῇ καὶ προσφύσει τῶν συνιόντων καὶ ἁπτομένων ἀλλήλοις σωμάτων. ἡ δὲ κατὰ ἀνάδοσιν δί ὀχετῶν καὶ πνευμάτων εἰσρυέντων καὶ διαδιδομένων, καὶ ποικίλως ἀλλοιυμένων, καὶ καθ' ἕξιν προσφυομένων ἐφ' ἅπαν τὸ ὀργανικὸν σῶμα. πᾶν ὖν τὸ προσιὸν αὐτοῖς ἀλλοιωθὲν προσφυόμενον τροφὴ καθίσταται, μὴ ἀλλοιωθὲν δὲ περίττωμα γίνεται. ἐνεργῦσι δὲ ἐν τοῖς ἐμψύχοις καὶ πολλαὶ ἄλλαι δυνάμεις, ἥ, τε πεπτικὴ, καὶ συγκριτικὴ, καὶ ἐκκριτικὴ, καὶ αὐξητικὴ, παρὰ τὴν τῦ ὁμοίυ γεννητικὴν καὶ τὴν καθ' ἕξιν συμφυΐαν, καὶ τὰς ἐν αὐτῇ συνεργὰς. ὅθεν καὶ τὰ προσιόντα ποτὲ μὲν τροφαὶ, ποτὲ δὲ περιττώματα γίνεται ἢ καθ' ὅλα, ἢ κατὰ μέρος.

## ΣΧΟΛΙΟΝ.

Οἱ διὰ τῶν ἀτομικῶν σχημάτων, καὶ τῆς αὐτῶν μεταθέσεως, καὶ κινήσεως ἐγγίνεσθαι πᾶσαν μεταβολὴν τοῖς σώμασιν οἰόμενοι, ἀπυσιῦσι μὲν προδήλως τὰς ὑσίας, καὶ ὑσιῦσι τὰ συμβεβηκότα κωνολογῦντες. εἰ γὰρ ἐκ τοιύτων γίνεται τὰ κατ' ὑσίαν γινόμενα, τί τὸ διορίζον. τὰ γὰρ συμβεβηκότα, ἢ καθ' ἑαυτὰ ὑχ ὑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑπάρχει, ἐπιτρέχει δὲ καὶ παρακολουθεῖ ταῖς οὐσίαις οὐχ ὁρίζει αὐτάς, ἄλλοις ἄλλως τε, καὶ ἐν τοῖς αὐτοῖς ἀλλοίως ἔχοντα. ἐξ ἀορίστων ἄρα τὰ ὡρισμένα, καὶ ἐξ ἑτεροειδῶν τὰ ὁμοιοειδῆ γεννᾶται, καὶ αὔξει, καὶ τρέφεται, εἴ γε κατὰ συμβεβηκός. καὶ οὐκ ἔτι τὸ καθεστηκὸς εἶδος δρᾷ καὶ ὁρίζει τὰς γενέσεις καὶ αὐξήσεις καὶ προσλαμβάνει τὰς τροφάς. καὶ εἰ τὰ συμβεβηκότα κατὰ συμβεβηκὸς συνίστησι τὰς οὐσίας, συμβεβηκότα ἂν εἶεν αἱ οὐσίαι τῶν περιόπτων σωμάτων ἐπὶ τῶν ἀτόμων, τί δὲ αὗται; εἰ μὲν καὶ αὗται συμβεβηκότα, πάντα ἂν ἦ συμβεβηκότα, καὶ οὐδαμοῦ οὐσίαι. εἰ δὲ καὶ αὗται οὐσίαι πάντα ἂν εἴη οὐσίαι τά τε ὄντα καὶ γενόμενα, καὶ οὐδαμῆ συμβεβηκότα. ἔπειτα εἰ αἱ ἄτομοι οὐσίαι εἰσί, καὶ εἶδος ἔχουσι, ὅτι καὶ σχῆμα καὶ μέγεθος καὶ κίνησιν ἐναντίαν ἔχειν ὑποτίθενται, καὶ δρᾶν πρὸς ἀλλήλας καὶ πάσχειν ὑπ' ἀλλήλων πεφύκασιν, οὐδὲν διοίσουσι κατὰ κλάσεις διῃρημέναι τῶν περιόπτων ἡμῖν εἰδῶν. καὶ τὸ ἐξ αὐτῶν σύστημα κρυπτὸς ἂν εἴη καὶ λανθάνων κόσμος, καὶ οὐσιώδης, καὶ ἔμμονος. ὁ δὲ περίοπτος παιζόμενος κατὰ συμβεβηκὸς ὤν, καὶ φαινόμενος μὴ ὤν. Ἀλλὰ δυνάμει φαῖεν ἂν οὐκ ἐνεργείᾳ τὰς ἀτόμους φέρειν τὰ εἴδη τῶν περιόπτων σωμάτων, αὐταὶ δὲ καθ' ἑαυτὰς ἄλλως ἔχουσι, καὶ ἐν ἄλλοις χαρακτηρίζονται. ὥστε δυνάμει ἐν αὐταῖς ἐστὶ καὶ ὁ περίοπτος κόσμος, ὡς καὶ τὰ ἐν αὐτῷ εἴδη. ἀλλὰ πῶς ἔχουσιν, εἰ μὲν πᾶσαι πρὸς πάντα τὰ εἴδη, ὕλης ἔχουσι χώραν, καὶ πάντα ἐκ πασῶν γίγνεται. εἰ δὲ κατὰ κλάσεις διῄρηνται, καὶ μορφὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔχουσι καὶ δρῶσι πρὸς ἀλλήλας, καὶ ὑπ' ἀλλήλων πάσχουσιν, εἰδοπεποίηνται κατὰ κλάσεις, καὶ μικρὸν ἢ οὐδὲν διαλλάττουσι τῶν ὁρωμένων εἰδῶν, καὶ τὸ ἐξ αὐτῶν σύστημα αὔτικρυς κόσμος ἂν εἴη παρεμφερὴς τῷ ὁρωμένῳ. πλημμελὴς καὶ ἄθεσμος περιφορὰ οὐ συνιστᾷ κόσμον, οὐδὲ κατὰ συμβεβηκός. οὔτε δὲ συνύπαρξις εἴη οὔτε διάστασις ἀπ' ἀλλήλων τῶν μὴ εἴδει διακρινομένων, ἀλλ' ὅλως ἀκοσμία. τῶν γὰρ εἰδοπεποιημένων ἡ σύνταξις, καὶ τῶν εἰδῶν ἡ εὐκοσμία. ὥστε εἴτι ἀνείδεον ἄθεσμον καὶ ἀσύντακτόν ἐστι, καὶ εἴτι συντέτακται ἔμπαλιν εἰδοπεποιημένον ἐστὶ καὶ εὔθεσμον. Ἀλογεῖ ἄρα ἐξ ἀθέσμου καὶ ἀορίστου φορᾶς συνιστὰς τὸν κόσμον Δημόκριτος. πλημμελοῦσι δὲ καὶ οἱ μὴ ἐκ διακεκριμένων καὶ εἰδοπεποιημένων καὶ εἴδεσι διαφερουσῶν ἀρχῶν, ἀλλ' ἐκ μονοσχημόνων καὶ σφαιρικῶν ἀτόμων συνιστῶντες τὰ παντοῖα σώματα. ἁμαρτάνουσι δὲ καὶ οἱ ἐκ τῶν αὐτῶν καὶ ὁμοφυῶν τοῖς ὁρωμένοις, συνάγοντες καὶ ἐπισωρεύοντες, ἢ διαλύοντες καὶ διασκεδαννῦντες τὰ εἴδη τῶν ὁρωμένων, οὐ φύσεις καὶ οὐσίας, συμβεβηκότα δὲ πάντα τὰ φαινόμενα ἡγούμενοι. οὔτε γοῦν ὡς ἀνείδεοι καὶ ἄμορφοι, οὔτε ὡς ἄθετοι καὶ εἰκαίως φερόμεναι, οὔτε ὡς παντάπασιν ὁμοιοσχήμονες καὶ ὁμοιοειδεῖς, οὔτε ὡς σωμάτια ὁμοιομερῆ στοιχεῖα ἂν γένοιντο αἱ ἄτομοι τῶν τοσούτων παντοίων εἰδῶν τῶν σωμάτων. κατὰ γὰρ τὰς πρωτογόνους τμήσεις καὶ διακρίσεις τῶν πρώτων καὶ καθολικωτέρων σωμάτων πρὸς σύστασιν τοῦ παντὸς κόσμου, συντετμημένων εἰς μέρη καὶ μόρια, εἰδοπεποιημένα κατ' εἶδος αὐτῶν, τεταγ-

μέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένα πρὸς γένεσιν καὶ ὕπαρξιν παντοίων εἰδῶν ὥρισται ταῖς ἐναντίαις δυνάμεσι καὶ ποιότησι πληθυνθέντα, καὶ τὸ παθητὸν καὶ τρεπτὸν φύσει κληρωθέντα διὰ τὴν γένεσιν συνίασι ἀμοιβαδὸν εἰς ἄλληλα μεταβάλλοντα, καὶ ἀλλήλων ἐχόμενα, κοινὸν ἔχοντα τῆς ἐφ' ἕτερον μεταβολῆς τὸ δυνάμει. οὐ γὰρ σῶμα οὐ μέγεθος οὐ κίνησις τῶν περὶ ἡμᾶς ἀπήλλακται τοῦ δυνάμει μὴ τοιοῦτον εἶναι. Τὰ μὲν οὖν μόρια ταῦτα ὡρισμένα καὶ εἰδοπεποιημένα ὄντα ἄτομοι ἂν ῥηθεῖεν, τῶν ὁλικῶν σωμάτων τῶν λεγομένων στοιχείων, ἅπερ συνῆλθον καὶ συντρέχουσιν ἐν τοῖς ὁρωμένοις εἴδεσι, καὶ συντεταγμένα εἰσὶ τῷ παντὶ, καὶ στοιχεῖα εἰσὶ τῶν σωμάτων ἐν μέρει, καὶ μέρη ἐκ τῶν πρωτίστων σωμάτων, καὶ σώματα κἂν ἐλάχιστα ποῦ εἴη, καὶ καταληπτικώτερον ἄτμητα καὶ ἄτομα ὅπου ταῦτα εἰ τὰ μόρια διὰ μεγέθους σμικρότητα λέγονται, τρεπτὰ γὰρ καὶ ἀλλοιωτὰ εἰσὶ διά τε τὴν φύσιν τοῦ συνεχοῦς καὶ διηνεκῆ ῥοὴν τῆς ὕλης, καὶ ἀντενέργειαν τῶν εἰδῶν. τὸ γὰρ συνεχὲς ἀεὶ διαιρετὸν, καὶ τὸ παθητὸν ἢ πέπονθε, ἄντικρυς ἀλλοιωτόν.

Οὕτως οὖν τὰ μέρη καὶ μόρια τῶν πρώτων σωμάτων τρεπτὰ καὶ ἀλλοιωτὰ ὄντα, στοιχεῖα εἰσι, πρὸς δύναμιν καὶ ἐνέργειαν τῶν φύσει ὄντων καὶ γιγνομένων ὁρισθέντα καὶ ὁριζόμενα, καὶ ἄλλως τε ἄλλως μετασχηματιζόμενα καὶ κινούμενα, καὶ ἀμοιβαδὸν μεταβάλλοντα καὶ μεταβαλλόμενα, διὰ τῶν πρωτίστων στοιχειακῶν ὡρισμένων δυνάμεων, δι' ὧν τῶν τοσούτων ὁρωμένων ἡ παντοδαπὴ κατ' ἀρχὰς σύστασις, καὶ καθεξῆς ἡ γέ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γεσις τῶν ὑπὸ σελήνην, καὶ διαμονὴ καὶ αὔξησις, καὶ τῶν ἐν αὐτοῖς παντοίων ἐνεργειῶν καὶ παθῶν αἱ μεταβολαί, καὶ τὰ ἐπιτρέχοντα συμβεβηκότα, καὶ αἱ προηγμέναι τῆς γενέσεως καὶ πάσης φυσικῆς μεταβολῆς ἀλλοιώσεις, ἅς γε ἐν τοῖς πάθεσι καὶ ἐνεργείαις τῶν ἐμψύχων, μάλιστα τῶν ζώων ἐπιγινώσκομεν. τὰς γὰρ τῶν ζώων αἰσθήσεις, καὶ πράξεις οὐκ ἄλλως αὐτίς νοήσειεν, εἰμὴ δι' ἀλλοιώσεων. Ὅσα οὖν Λεύκιππος, καὶ Δημόκριτος περὶ αὐτῶν εἴρηκεν ἔωλά εἰσι, καὶ ὕθλοι διάκενοι.

## Περὶ Ἀλλοιώσεως.

Τοῦ ὑπὸ σελήνην σώματος διαιρεθέντος εἰς τὰ στοιχεῖα, καὶ τούτων εἰδοποιηθέντων ἐν ποιότησιν ἐναντίαις, ἃς καὶ δυνάμεις καὶ ἰδιότητας στοιχειακὰς καλοῦμεν, αἱ μὲν αὐτῶν συνάγουσι τὰ εἴδη κοιναὶ οὖσαι, αἱ δὲ διϊστῶσιν ἐναντίαι οὖσαι. ὡς οὖν τὰ ὅλα ἔχουσι πρὸς ἄλληλα φιλίας ἢ μάχης, οὕτω τοι καὶ τὰ μέρη καὶ μόρια αὐτῶν. ἐπεὶ δὲ μέμικται ταῦτα ἔν τε τῷ ὅλῳ παθητῷ σώματι καὶ ἐν τοσούτοις εἴδεσι τῶν ὁρωμένων σωμάτων, ἑκάτερα ἐνορᾶται ἐνεργοῦσα ἤτε φιλία, καὶ ἡ μάχη. μάχεται γοῦν ποιότης τῇ ἐναντίᾳ ποιότητι, καὶ τὸ ὑποκείμενον ὅλον προσλαβεῖν, καὶ ἐξιδιάσαι ἐπείγεται, ἀλλ' εὐθὺς ἐπισχεῖν οὐκ ἰσχύει. ὅθεν ἐν τῇ συμπλοκῇ εἴτε τοῦ ὅλου πρὸς ὅλον, εἴτε τοῦ μέρους πρὸς μέρος ἡ εἰσβολὴ πόῤῥωθεν ἄρχεται, καὶ ἡ ἐπικράτησις προοδοποιεῖται τοῦ ἰσχύοντος. ταύτην δὴ ἀλ-

λοίω-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λοίωσιν καλοῦμεν ἐνεργητικὴν μὲν τοῦ ποιοῦντος, παθητικὴν δὲ τοῦ πάσχοντος. οὐ γὰρ ἄλλο καὶ ἄλλο, οὔτε τὸ ποιοῦν οὔτε τὸ πάσχον ἐν τῇ τοιαύτῃ συμπλοκῇ αὐθὺς γίνεται. πρὸς ἄλλο δὲ καὶ ὑπ' ἄλλου, ἢ ἄλλο, κινεῖται. καὶ μετοχικῶς ἄρ' ἀλλοιοῦται ὑπομένον τὸ ὑποκείμενον, μὴ κατ' ἄκρον τῆς ἐναντίας ποιότητος ἐπισχούσης. ὥρισται γὰρ μέτρα ἐν τῇ φύσει κατά τε τὸ συνεῖναι τὰ ἐναντία, καὶ ἐπικρατεῖν καὶ συνισᾶν, καὶ σώζειν τὰ εἴδη, καὶ ἀμείβειν τὰς φύσεις, καὶ ὅλως ἐνεργεῖν καὶ πάσχειν, καὶ ἐν τῷ πέρατι τῆς ἀλλοιώσεως ἐστὶ γένεσις καὶ φθορά.

Ἡ τοίνυν ἀλλοίωσις θεωρεῖται ἢ καθ' ὕφεσιν, ἢ κατ' ἐπίτασιν τοῦ μέσου τῶν ἐναντίων. καὶ ἡ μὲν ἔνδοθεν ἐν τοῖς μικτοῖς διὰ τὴν τῶν μορίων ἀντενέργειαν. ἡ δὲ ἔξωθεν ἐκ τῶν παρακειμένων. πάσχει δὲ ταύτην πάντα τὰ ἀγχίθυρα ἡμῖν σώματα, τά τε ἔμψυχα καὶ τὰ ἄψυχα, ὅτι ἐκ τῶν ἐναντίων σύγκειται, καὶ ἐν τοῖς ἐναντίοις ἐγκολυμβᾷ τῷ ῥεύματι τῆς φύσεως περιαντλούμενα. καὶ ἡ ἔξωθεν αὖθις ἀλλοίωσις ἢ ἐκ τῶν ἐγγὺς καὶ ἄμεσος γίνεται ἁπτομένων, ἢ ἐκ τῶν πόρρω καὶ ἔμμεσος. καὶ ἡ μὲν ταχυτέρα, ἡ δὲ χρόνιός ἐστι, κατά τε τὸ ποιοῦν καὶ πάσχον, καὶ νόμους τῆς κινήσεως καὶ ἰδιότητας, καὶ οὐσιώδη σύστασιν τῶν σωμάτων. πολύτροπος γὰρ ἡ φύσις, καὶ δίοδον καὶ σταθμοὺς, καὶ ὅρους τῶν ἐνεργειῶν αὐτῆς, οὐ ῥαδίως ἄν τις ἐπιλογίσαιτο. ἀρχὴ οὖν πάσης μεταβολῆς ἐν τοῖς φυσικοῖς σώμασιν ἡ ἀλλοίωσις εἴτε κατ' οὐσίαν, εἴτε κατὰ συμβεβηκός. πέρας δὲ ἡ οὐσία, ἢ τὸ συμ-

βε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

βεβηκὸς, ἀπ' ἐναντίου εἰς ἐναντίον μεταβαλόντος τοῦ ὑποκειμένου.

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

### Περὶ Αἰσθήσεως.

Ἐν τρισὶ τῶν ἁπλῶς ἐμψύχων πλεονεκτοῦσι τὰ ζῶα, αἰσθήσει, φαντασίᾳ, καὶ ὁρμῇ, ὡς ἔστι καταφανές. ἐν τρισὶ δὲ καὶ ἡ αἴσθησις ἀπαρτίζεται τῷ ποιοῦντι, τῷ δεχομένῳ, καὶ τῷ μέσῳ. ἀλλ' οὐ τὸ ποιοῦν τὴν αἴσθησιν, τὸ δὲ δεχόμενον αἰσθάνεσθαι φαμέν. ὥστε κατὰ κοινὴν δόξαν, εἰ καὶ ἐκ τῶν πραγμάτων, ἐν ἡμῖν μέντοι ἡ αἴσθησις ὡς ἐνέργεια, οὐχ ὡς πάθος λογίζεται. ἀπορεῖται δὲ ὅπως διαβιβάζεται ἐκ τῶν πραγμάτων ταῦτα τὰ παθήματα, καὶ διοχετεύεται αὐτῶν τὰ εἴδη ἐν τοῖς αἰσθήμασιν. οἱ μὲν ἔφησαν ὡς ἐν τῷ ὁμοίῳ τοῦ ὁμοίου αἰσθανόμεθα. οἱ δὲ τοῦ ἐναντίου διὰ τοῦ ἀντικειμένου. καὶ οἱ μὲν τὰ εἴδη ἐξιόντα αὐτῶν τῶν πραγμάτων ἐπὶ τὸν ἐγκολάπτεσθαι, καὶ τὴν ἔμφασιν ἐμποιεῖν. αἱ δὲ σωμάτια καὶ εἰδώλια παρεμφερῆ τοῖς ἐκτὸς σώμασιν, εἰσδύειν διὰ τῶν πόρων τῶν αἰσθητηρίων, καὶ προσφύεσθαι τῇ ψυχῇ, καὶ φαντασίαν ποιεῖν. εὔχεσθε γὰρ εὐλόγχων εἰδώλων τυγχάνειν φησὶν ὁ Δημόκριτος. ἀλλ' οὕτως ἀποξέειν τὰ εἴδη ἐκ τῶν σωμάτων, καὶ τὰς αἰσθήσεις ἐν ἡμῖν ἐγκολάπτειν, λῆρος αὐτόμολος ἐκ προτέρων ληρημάτων. τί γὰρ τὸ ἀποξέον διηνεκῶς, καὶ μὴ ἐκκενοῦν τὰ σώματα; πῶς

δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δὲ ἀποτεμνόμενα τὰ εἴδη καὶ περιφερόμενα οὐ συγκέχυται; πῶς δὲ κινούμενα ἰθύνει πρὸς τὰ αἰσθητήρια τὴν ὁρμήν; τίς ταῦτα ἀπευθύνει; τίς μερίζει; καὶ ἀπ' ἀλλήλων διέκρινε κατὰ τὰς αἰσθήσεις; τίς συγκινεῖ κινουμένοις, καὶ ἠρεμοῦσι καταπαύει; καὶ μεταβάλλει μεταβαλλομένοις; εἰ μὲν γὰρ πλῆρες τὸ πᾶν τοιούτων εἰδώλων, ἦν ἂν πάντων πανταχῇ αἰσθάνεσθαι, εἰδ' οὐ πλῆρες, ἦν καὶ αἰσθάνεσθαι καὶ μὴ ἄλλῳ τε προκειμένων τῶν αὐτῶν πραγμάτων. ἀλλὰ καὶ τίς ἀπετόρνευσε τὴν εἰς πάντα ὁμοιότητα μετὰ τῶν πρωτοτύπων σωμάτων, καὶ ἢ ἀεὶ διατυποῖ, καὶ μεταπλάττει, ἢ συγκείμενα ἐξάγει καὶ ἐκτελειώσει ἐκ τῶν σωμάτων; ἐοίκασι δὲ μᾶλλον τοῦτο φρονεῖν οἱ ταῦτα ληροῦντες. ἀλλὰ πῶς ἀεὶ ἐξαγομένων ὁ ὄγκος αὐτῶν οὐκ ἐλαττοῦται. πῶς δὲ καὶ σχῆμα καὶ μέγεθος ἴσον καὶ ὅμοιον φέρει τῷ ὅλῳ μέρη ὄντα; πῶς δὲ καὶ εἰσδύει διὰ μικρῶν πόρων τῶν αἰσθητηρίων τὰ ὑπερμεγέθη; πῶς δὲ καὶ πόθεν ἡ ἔμφασις τῶν μικρῶν ἐν τοῖς αἰσθητηρίοις. τοὺς γὰρ πόρους προκαταλαμβανόντων τῶν μεγάλων τὰ μικρὰ χώραν εἰσόδου οὐχ ἕξει. αὐτέλεγκτος ἄρα καὶ παράλογος αὕτη ἡ τοῦ Δημοκρίτου καὶ Ἐπικούρου δόξα. οἱ δὲ ἐκ τῶν σωμάτων ἐξιόντα τὰ εἴδη διαβαίνειν ἐπὶ τὰ αἰσθητήρια φρονοῦντες, τὰ σαφῆ λέγοντες οὐκ ἀκριβοῦσι τὴν αἴσθησιν. εἰσὶ δ' οἳ καὶ ἐνεῖναι τῇ ψυχῇ πάντων τὰ εἴδη πρεσβεύουσι, καὶ ἐξ ἀφορμῆς τῶν αἰσθητηρίων ἀλλοιουμένων ἐκτελειώσεσθαι ἡγοῦνται, τόπον τῶν εἰδῶν, καὶ εἶδος τῶν εἰδῶν, καὶ ἐμφύτους τὰς ἰδέας πρεσβεύοντες, τὸ μὲν ἐκ τοῦ Ἀριστο-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τέλης, τὸ δὲ ἐκ τοῦ Πλάτωνος προχείρως παραλαβόντες. ἀλλ' ἐν ἐκείνοις ὁ λόγος περὶ νοῦ, οὐ περὶ αἰσθήσεως. ἡ γὰρ αἴσθησις κοινὴ πᾶσι τοῖς ζώοις.

Ἵνα οὖν τὰ περὶ αὐτῆς ἀκριβέστερον διασαφήσωμεν, διακριτέον πρῶτον τὸ ποιοῦν, καὶ πάσχον, καὶ τὸ μέσον. δεύτερον ὅθεν ἄρχεται, καὶ ἐν τίνι λήγει, δηλονότι τίς ἡ ἀρχή, καὶ τί τὸ πέρας τῆς αἰσθήσεως. τρίτον πῶς ἔχει κατὰ φύσιν τὸ μέσον πρὸς ἑκάτερον τό, τε ποιοῦν, καὶ τὸ πάσχον. καὶ τελευταῖον τίς ἡ φύσις, καὶ τίνα τὰ ἴδια τῆς αἰσθήσεως.

Ποιοῦν μὲν οὖν αἰσθήσεως εἰσὶ τὰ ἐκτὸς τῶν αἰσθομένων σώματα, καί ποτε καὶ τὰ ἐντὸς ὡς ἐκτός. πάσχον δὲ τὰ αἰσθητήρια προσεχῶς, εἴτ' οὖν μέρη τοῦ ὀργανικοῦ σώματος, ἔσχατον δὲ τὸ ἐν αὐτοῖς πνεῦμα. μέσον δὲ ὁ ἀήρ. ἀρχὴ δὲ ποιητικὴ ἡ ποιότης τῶν ἐκτὸς σωμάτων. πέρας δὲ τὸ ἐν τῷ ζωτικῷ πνεύματι πάθος, κατ' αὐτὸ δὴ καὶ μερίζει καὶ κρίνει τὸ αἰσθητὸν ἡ αἴσθησις ἐν ἀλλοιώσει. ἔστι γὰρ ἡ αἴσθησις ἐκ τῶν ποιοτήτων τῶν ἐκτὸς αἰσθητῶν σωμάτων ἀμέσως δι' ἀφῆς, ἢ διὰ τοῦ ἀέρος ἐπὶ τὸ αἰσθητήριον διαβαίνουσα, λήγουσα καὶ περατουμένη ἐπὶ τὸ πνεῦμα τοῦ ζώου. εἰ οὖν ἀλλοίωσις ἐστὶ καὶ ἐνέργεια καὶ πάθος ἐν σώμασιν ὑπὸ σωμάτων, συμπαρεῖναι ἐν αἰσθήσει τό, τε ἐνεργοῦν καὶ τὸ πάσχον. οὐ γὰρ ἄλλως ἐνεργεῖ τὰ σώματα οὐδὲ πάσχει, μὴ ἐφαπτόμενα ἀμέσως ἢ ἐμμέσως. ἀλλοιοῦται τοίνυν ἐν τῇ αἰσθήσει ὁ ἀήρ, τὰς ποιότητας τῶν σωμάτων ἀναδεχόμενος. διὰ δὲ τοῦ ἀέρος συναλλοιοῦται τὸ αἰσθητήριον τὰς αὐτὰς ποιότητας διαδε-

χό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χόμενον. διὰ δὲ τοῦ αἰσθητηρίου ἐπ' αὐτὸ ἥκει τὸ πνεῦμα τοῦ ζώου ἡ ἀλλοίωσις παρόμοιον τῷ ἀλλοιοῦντι ποιοῦσα τὸ ἀλλοιούμενον. κρίνει δὲ τὸ αἰσθόμενον τὸ ἐκτὸς καὶ ποιοῦν τὴν αἴσθησιν οὐχ ὡς ὅμοιον, εἴπερ πάσχει. τὸ γὰρ πάσχον ἢ ἄλλο, πάσχει, ὑπὸ τοῦ ποιοῦντος. ὥστε τῷ ὁμοίῳ καὶ ἀνομοίῳ κρίνει ἡ αἴσθησις, τῷ ὁμοίῳ μὲν ὅτι διὰ τῆς αὐτῆς ποιότητος, τῷ δ' ἀνομοίῳ, ὅτι τὸ δρῶν καὶ ἄλλο τὸ πάσχον, καὶ διακέκριται τὸ αἰσθόμενον τοῦ αἰσθητοῦ. ἔτι ἄρα κατ' αὐτὴν ἀλλοιοῦται, καὶ τὸ μέσον, καὶ τὸ ἐν τῷ ζώῳ πνεῦμα πάσχειν ἂν λέγοιτο. ἀρχὴ δὲ ἄμεσος καὶ προσεχὴς τῆς ἀλλοιώσεως ἐν τῷ ζωτικῷ πνεύματι ἡ τοῦ ὀργάνου ἀλλοίωσις, τῆς δὲ ἡ ἐν τῷ μέσῳ, ταύτης δὲ ἡ ποιότης τοῦ ἐκτὸς δρῶντος σώματος. πρῶτον γοῦν ἀλλοιοῦται τὸ μέσον, ᾗ ἅπτεται τοῦ ἀλλοιοῦντος, καὶ τοῦτο δρᾷ πρὸς τὸ μέσον, ἢ ἄλλο. οὐ γὰρ χυμῶν, οὐδὲ ὀσμῶν, οὐδὲ ἤχων καὶ περιβομβήσεως καὶ φωτὸς καὶ χρωμάτων εἴδη φέρει καθ' ἑαυτὸν ὁ ἀήρ, δέχεται δὲ ἀπαθῶς ταῦτα, καὶ ταχέως ἀπολύεται τύπων. τὰ δὲ ἀμέσως, εἰμὴ διὰ ἀέρος, τῇ ἀφῇ μέντοι ἐμποιεῖ τὸ εἶδος κατὰ μέρος ἐν τῷ πνεύματι τοῦ ζώου. πνεῦμα δὲ ζώου ἐστι, νασμὸς σαρκὸς καὶ αἵματος, καὶ ὅλως ὡς εἰπεῖν τοῦ κράματος καὶ τῶν μερῶν τοῦ ζώου, ταυτὸν κρᾶμα λεπτότατον ἐκ τῶν ἐντὸς τοῦ ζώου ἀτμιζόμενον καὶ συστρεφόμενον ἐν αὐτῷ, διϊὸν δι' ὅλων τῶν ὀργανικῶν μελῶν, καὶ διαφόρως ἐνεργοῦν, ἄρδον καὶ συγκινοῦν τὰ ἐν τῷ ζώῳ ὀργανικῶς συντεθειμένα μέλη, καὶ συγκείμενα μέρη πρὸς ζωὴν καὶ ἐνέργειαν ἑκάστῳ.

κρί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κρίνει οὖν καὶ μετρεῖ ἡ αἴθησις τὸ αἰσθητὸν, καὶ τὸ πάθος τὸ γενόμενον ἐν τῷ αἰσθητηρίῳ. κρίνει δὲ καὶ σχῆμα καὶ μέγεθος τῶν σωμάτων διὰ τὴν ἐν αὐτοῖς ποιότητα. ἀφ' ἑκάστου γὰρ μορίου τῶν περὶ τὸ αἰθητὸν, ὃ ποιότητος μετέχει, πρόεισι κατ' αἴθησιν ἐνέργεια, ὑφ' ἧς διαβαίνει ἡ ἀλλοίωσις ἐπὶ τὸ ζωτικὸν πνεῦμα κατὰ τὸ ποιοῦν. διὸ καὶ τὰ συνεχῆ ὡς συνεχῆ, καὶ τὰ διῃρημένα ὡς διῃρημένα, καὶ τὰ διαφέροντα ὡς διαφέροντα, καὶ τὰ ταυτὰ ὡς ταυτὰ, καὶ τὰ ἕτερα ὡς ἕτερα ἐμφαίνονται τῇ αἰθήσει.

## Πόρισμα α'.

Ὡς ἐνεργεῖ τὰ ἐκτὸς ἡμῶν σώματα, καὶ ὡς ὑπ' αὐτῶν ἡμεῖς πάσχομεν, οὕτως αἰσθανόμεθα κατ' ἀναλογίαν καὶ μέτρον τῶν ἀλλοιώσεων τοῦ ἐν ἡμῖν ζωτικοῦ πνεύματος. ὥστε τὰ αὐτὰ ἐγγύθεν καὶ πόῤῥωθεν μᾶλλον καὶ ἧττον αἰθανόμεθα. ὡς γὰρ μείζων ἢ ἐλάσσων ἡ ἐνέργεια, καὶ κατὰ τὴν ἐνέργειαν καὶ τὸ πάθος, οὕτω τοι ἐν ἡμῖν καὶ ἡ αἴθησις.

## Πόρισμα β'.

Αἱ αἰθήσεις γένει μὲν ταυτίζονται ἐν τοῖς ζώοις. εἴδει δὲ διαφέρουσι τοῖς κατ' αὐτὰς διαφόροις, ὅτι καὶ σάρκες καὶ αἷμα, καὶ ὅλως εἰπεῖν ἑκάστου εἴδους τῶν ζώων τὸ κρᾶμα καὶ ἡ σύστασις ἴδια, καὶ ἐν αὐτοῖς ἄρα καὶ ἐκ τοῦ κράματος νασμὸς, εἴτ' οὖν τὸ πνεῦμα, οὐ

πά-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πάθος ἡ αἴσθησις. τὰ δὲ διαφέροντα ὑπὸ τῆ αὐτῆ διαφόρως, καὶ ἐκ ἐπίσης πάσχει.

## Πόρισμα γ'.

Τὸ ἐν τοῖς ζώοις πνεῦμα ἀδιαφορεῖ πρὸς ἁπάσαις ἐκ τῶν ἔξωθεν ἐπιγενομένων ποιότητα. δυνάμει γὰρ ἐκ ἐνεργείᾳ ἔχει πρὸς αὐτάς. δέχεται δὲ ταύτας ἀλλοιέμενον, ἢ ἀλλοιῦται. τὸ δὲ ἀλλοιέμενον, ἢ ἀλλοιῦται, δέχεται ὃ ἐνεργείᾳ ἐκ ἔχει.

## Πόρισμα δ'.

Ἐπεὶ αἱ ποιότητες τῶν σωμάτων ἐκ τῆς τῶν πρώτων ἐσιωδῶν ποιοτήτων ἑνώσεως σύμμικτοι εἰσιν, ἐδεμιᾶς ἄρα ἄκρας ποιότητος αἴσθησιν ἔχομεν. ἐδὲ γὰρ οἷόντε ἐστι τὸ ζωτικὸν πνεῦμα ἀναδέξασθαι καὶ ὑπενεγκεῖν αὐτήν. παραυτίκα γὰρ ἂν ἀνελύετο.

## Πόρισμα ε'.

Ἡ ἔμμονος αἴσθησις ἀκριβεστέρα, ἡ δὲ ταχεῖα καὶ ἐπιτροχάδην παρελθοῦσα, ἀμυδρά. ἡ γὰρ ἀλλοίωσις χρόνῳ καὶ ἐνεργείᾳ ἐπισχοῦσα, σαφέστερον τὸ εἶδος ἐπάγει.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΚΑΡΑΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πόρισμα ς΄.

Κατὰ τὴν κίνησιν καὶ τὸ πάθος. διὸ καὶ ἡ αἴσθησις τῶν σφοδρῶς ἐπενεργούντων σύντονος, τῶν δὲ βάδην καὶ ἀβληχρῶς ἀτονωτέρα. σὺν χρόνῳ γοῦν ἐπιχύει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΤΑΛΟΣ

## Πόρισμα ζ΄.

Τῶν αἰσθήσεων συνδιαιρουμένων κατ᾿ εἶδος, καὶ τούτων κατ᾿ ἀριθμοὺς πλείονας, οὔτε ὁμοειδεῖς καὶ ἑτεροειδεῖς πολλαὶ ἅμα συμπίπτουσαι συγχέονται καὶ ἐξαμβλοῦσι. τὸ αὐτὸ γὰρ ἔχουσιν ὑποκείμενον αἱ κατ᾿ αἴσθησιν ἀλλοιώσεις, εἰ καὶ ἐν μέρει, ἤτοι τοῖς αἰσθητηρίοις, καὶ τοῖς παθήμασι καὶ ταῖς ἐνεργείαις διαφόρως ἐξοπίζονται, καὶ πολλάκις ἡ ἑτέρα τὴν ἑτέραν ἀμαλδύνει, ὅτι καὶ κίνησις κίνησιν παύει, ἡ μείζων τὴν ἐλάσσονα.

## Πόρισμα η΄.

Λανθάνουσι τὴν αἴσθησιν πολλά, ἢ δι᾿ ἀντίφραξιν τῶν παρακειμένων μορίων ἢ δι᾿ ἀμυδρὰν ποιότητα, ἤτοι δύναμιν ἀλλοιωτικήν, ἢ διὰ σμικρότητα μεγέθους καὶ ἐνεργείας. οὐ γὰρ δύνανται ἀλλοίωσιν οὔτε τῷ μέσῳ οὔτε τῷ αἰσθητικῷ πνεύματι τὰ λίαν σμικρά. τὰ γὰρ μὴ πρὸς ἄλληλα μήτε τοῖς αἰσθητηρίοις λόγον ἔχοντα ποιοῦντος καὶ πάσχοντος, αἰσθήσει ἄληπτα εἰσι.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πόρισμα θ'.

Εἴπερ ἐν μεσότητι εἴτουν ἐν ἀναλόγῳ μίξει τῶν ἐναντίων στοιχειακῶν ποιοτήτων ἡ οὐσιώδης σύστασις τῶν κατ᾽ εἶδος σωμάτων, ἐν μεσότητι ἔσαι καὶ ἡ αἰσθητικὴ ἕξις καθ᾽ ἑαυτὴν παντὸς ζώου. καθ᾽ ὕφεσιν ἄρα καὶ ἐπίτασιν τὰς ἔξωθεν ποιότητας κρίνει. αἱ γὰρ ἔξωθεν ἀλλοιώσεις σύνναοι τῇ διαθέσει τοῦ ζωτικοῦ πνεύματος οὐδὲ μίαν φέρουσιν αἴσθησιν. διὸ καὶ ἐν τῷ ἐναντίῳ, οὐ τῷ ὁμοίῳ κρίνειν αὕτη δοκεῖ. χλιαρὰ γὰρ διάθεσις χειρὸς χλιαρὸν ὕδωρ οὐ κρίνει. ψυχρότερον δὲ ἢ θερμότερον εὐθὺς κρίνει. τὸ δὲ χλιαρὸν ὅτι σύνναον τῇ τοῦ ζωτικοῦ ἐν πνεύματος διαθέσει, ἐκ λόγου κρίνομεν, μηδεμιᾶς αἰσθόμενοι ἀλλοιώσεως.

## Πόρισμα ι'.

Πάντα οὖν τὰ αἰσθητὰ ἀναλογίαν ἔχει πρὸς αἴσθησιν καὶ πρὸς ἄλληλα, καὶ κατὰ ταύτην καὶ κρίνεται. διὸ οὐ κατὰ τὴν αὐτῶν φύσιν, ἀλλὰ κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν εἴτουν ἐνέργειαν μετρεῖ τὰ φαινόμενα ἡ αἴσθησις, μείζονα μὲν ἐγγὺς, ἐλάσσονα δὲ πόῤῥω, ὅτι τῶν ἔγγιον μείζων ἡ ἐνέργεια.

## Πόρισμα ια'.

Οὔτ᾽ ἄρα θέσιν φυσικὴν, οὔτε τάξιν οὔτε μέγεθος τῶν σωμάτων καθ᾽ ἑαυτὰ, ὡς δὲ πρὸς ἡμᾶς ἔχουσι καὶ

πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ Κ.Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πρὸς ἄλληλα, κρίνει ἡ αἴσθησις. τῇ δ' οὖν ἀναλογίᾳ πρὸς αὐτὴν καὶ σχέσει τῇ πρὸς ἄλληλα τῶν ἐμφαινομένων, οὐ ψεύδεται. ὡς γὰρ ἔχουσι πρὸς ἄλληλα τὰ σώματα καὶ πρὸς αἴσθησιν εἴτ' οὖν ἀλλοίωσιν] τὴν κατ' αὐτήν, ἀληθῶς κρίνει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Πόρισμα ιβ'.

Κρείττονος ἄρα δυνάμεως ἢ αἰσθήσεως ἡ ἐπίκρισις τῶν τοιούτων. διὸ καὶ λόγου δεόμεθα πρὸς ἀλήθειαν.

## Πόρισμα ιγ'.

Τὰ ἄλογα οὖν ζῶα μόναις ἁπλαῖς ταῖς αἰσθήσεσι καὶ φαντασίαις οἰκονομούμενα, κατ' αὐτὰς μόνας ἄγονται. διὸ ταχέως ἐκπλήττονται, καὶ ἐξιστῶνται, καὶ εἰκαίως πολλάκις φέρονται. ἄμοιρα γὰρ ἐπικρίσεως καὶ αὐτῶν τῶν κατ' αἴσθησιν.

## Περὶ τῶν ἐν μέρει αἰσθήσεων, καὶ πρῶτον περὶ Ἁφῆς.

Ἡ Ἁφὴ ἐστι πρώτη καὶ κοινοτάτη αἴσθησις πᾶσι τοῖς ζώοις, καθ' ἣν πρώτως καὶ κοινῶς ταῦτα διακρίνονται τῶν ἁπλῶς ἐμψύχων. δοκεῖ δὲ καὶ ὑλικὴ καὶ ἄμεσος τῶν παρακειμένων καὶ προσπιπτόντων τοῖς ζώοις αὕτη ἡ αἴσθησις. ἀλλ' οὔτε ἄμεσος, οὔτε δι' ὅλου, ὅτι καὶ αὐτὴ διὰ τοῦ ψαθαροῦ, καὶ ἁπαλωτέρου καὶ ὅλως διὰ τοῦ

νευ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νευρῶδες, τυχὸν δὲ καὶ διὰ τοῦ ἀερῶδους, ὡς καὶ αἱ λοιπαί, ἐνεργεῖται. ὁ γὰρ ἀήρ, ὡς εἴρηται ἐν τῇ πρώτῃ Βίβλῳ, οὐ μόνον στοιχεῖον, ἀλλὰ καὶ ὄργανον ἐστι φύσεως, καὶ ἐν πλείοσι τῶν σωμάτων ἐμφιλοχωρῶν, καθ᾽ ἑκάτερον συντελεῖ. ὁρίζεται γοῦν ὡς ἔστιν ἡ ἁφὴ ἀλλοίωσις τοῦ ζωτικοῦ πνεύματος ἐκ τῶν παρακειμένων καὶ προσπιπτόντων ἀμέσως ἢ διὰ τῶν νεύρων προχεομένη αἴσθησις ἐν ὀργανικοῖς σώμασιν. ἐπεὶ δὲ τὸ νευρῶδες ἐν τοῖς τοιούτοις σώμασι πολύ, τάτε ἔνδον καὶ τὰ ἐκτὸς περιέλαβε, κατ᾽ ἄμφω καὶ αὕτη ἡ αἴσθησις ἐνεργεῖ, ἔνδοθεν μὲν ἀπὸ μέρους, ἔξωθεν δὲ ἀφ᾽ ὅλου τοῦ σώματος.

Τῶν δὲ ὀπτικῶν ποιοτήτων ἀνακεφαλαιουμένων, καὶ ὑπαγομένων εἰς ταύτας τὰς δύο συζυγίας τοῦ θερμοῦ, καὶ τοῦ ψυχροῦ, τοῦ ὑγροῦ καὶ τοῦ ξηροῦ, δῆλον ἄρα ὅτι κατὰ ταύτας τὰς στοιχειακὰς ποιότητας πᾶσαι αἱ κατὰ τὴν ἁφὴν κρίνονται αἱ ποιότητες, καθ᾽ ὕφεσιν καὶ ἐπίτασιν τῆς μεσότητος ἐν ᾗ συνίσταται τὸ πνεῦμα ἑκάστου ζώου. μεσότης γὰρ εἰδικὴ παντὸς σώματος ἐστὶν ἕνωσις καὶ κοινωνία τῶν ἀντιθέτων πρώτων ποιοτήτων ἀνάλογος, καθ᾽ ἣν πολυειδῶς καὶ πολυτρόπως συνεῖναι καὶ συνυπάρχειν πεφύκασι τὰ στοιχεῖα.

## Πόρισμα α΄.

Τὰ παρατριβόμενα ἄρα καὶ ἐπίχριστα καὶ ἐπίπλαστα τοῖς μέρεσι τῶν ζώων, ἀλλὰ καὶ τὰ περίαπτα ἀλλοίωσιν ἐμποιοῦσι τῷ ζωτικῷ πνεύματι, καὶ μᾶλλον τὰ ἐμ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐμμένοντα ἐν τοῖς πόροις, καὶ προσκολλώμενα. ὥσπερ καὶ τὰ ἐσθιόμενα καὶ πινόμενα εἰσιόντα. παραῤῥέει γὰρ καὶ διὰ ἀφῆς ἀλλοιοῦ.

## Πόρισμα β'.

Καὶ ἐπεὶ τὸ ζωτικὸν πνεῦμα διήκει διὰ πάντων τῶν ὀργανικῶν μελῶν, τὰ δὲ μέλη διάφορον ἔχει καὶ σχῆμα, καὶ μέγεθος καὶ σύστασιν, διαφόρως καὶ ταῦτα συναλλοιοῦνται ἐκ τῶν αὐτῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Πόρισμα γ'.

Βλαπτικὴ γίνεται τῶν λυπούντων μάλιστα ἡ ἀφὴ, ἐν οἷς ἰξώδης καὶ ἔμμονος, ἢ σφοδρὰ προσγίνεται καὶ ὀξεῖα. διαταράττει γὰρ τὴν ἐντὸς ἁρμονίαν ἡ σφοδροτέρα τοῦ πνεύματος ἀλλοίωσις, ταχεινὴ δὲ παροῦσα οὐ φθείρει.

## Πόρισμα δ'.

Ἡ ἐπὶ μέρους ἀφὴ συμπαθεῖν, ἢ ἀντιπαθεῖν ἑτέρῳ μέρει δοκεῖ, διὰ τὴν κοινωνίαν τοῦ ζωτικοῦ πνεύματος.

## Πόρισμα έ.

Παλαῖστραι ἄρα καὶ δρόμοι, καὶ περίπατος καὶ ὅλως σωμασκίαι, καὶ χειρωναξίαι, καὶ τεχνῶν ἐργασίαι καὶ δι' ἀφῆς συντελοῦσι τοῖς χρωμένοις. τινά τε γὰρ τοῦ

ζω-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ζωτικῦ πνεύματος κατοχὴν, εἴτινι συχεθῆ, λύυσι, ϗ τὴν ἔμφυτον σύςασιν ϗ ἐνέργειαν διατηρῦσι, δἰ ἧς σώζεται ἡ κατὰ φύσιν τῶν μελῶν ϗ χυμῶν τῦ ζώου ἁρμονία.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ Γεύσεως.

Η γεῦσις συνημμένη τῇ ἁφῇ ἐπὶ μέρους διὰ τῆς γλώττης ϗ ἁπαλῶν νεύρων διαβιβάζει τὴν ἀλλοίωσιν ἐπὶ τὸ ζωτικὸν πνεῦμα· ὥςε ἔςιν αἴσθησις ἔμμονος δἰ ὑδαρῶν ἐκ μέρυς ὀργανικῦ σώματος ἐπὶ τὰς ἁπτικὰς ποιότητας ἐπικρίνυσα τὸ ὑγρὸν καὶ ξηρὸν ὡς ἔχυσι πρὸς ἄλληλα ἐν τῷ αἰσθητῷ. διὸ καὶ ὑγρῷ καὶ ἁπαλωτέρῳ χρῆται τῷ μέσῳ. πᾶσαι γῦν αἱ γευστικαὶ ποιότητες τροπισμοὶ ϗ διαθέσεις εἰς τῦ ξηρῦ καὶ τῦ ὑγρῦ ἐν τῇ ὑσιώδει συστάσει τοῦ γευστῦ, ὑφ᾿ ὧν γίνονται αἱ διάφοροι ἀλλοιώσεις τοῦ ζωτικῦ πνεύματος κατὰ γεῦσιν, ἐπικρίνονται δὲ ϗ αὗται αἱ γευστικαὶ ποιότητες καθ᾿ ὕφεσιν ϗ ἐπίτασιν ἑκατέρας ποιότητος τῶν συνελθόντων εἰς σύςασιν τῦ αἰσθητῦ. ἐν τῷ ὄξει φέρ᾿ εἰπεῖν κρίνεται τὸ ξηρὸν μετὰ ψυχρότητος ἐπικχύοντος τοῦ ὑγρῦ. ἐν δὲ τῷ ἀλυκῷ τὸ ξηρὸν ἐπικρατῦν διὰ τῦ θερμῦ. ἐν δὲ τῷ γλυκεῖ εὔκρατον ἑκάτερον, τὸ ξηρὸν δηλονότι καὶ ὑγρὸν διὰ τῦ θερμῦ. ἐν δὲ τῷ αὐςηρῷ, τὸ ξηρὸν ἐκκαέν. ἐν δὲ τῷ πικρῷ τὸ ξηρὸν ὑπερεκκαέν. ἐν δὲ τῷ συφνῷ τὸ γεῶδες ἄπεπτον ὂν δἰ ἔλλειψιν τῦ θερμῦ. ἀλλὰ κἀν τύτοις διάφοροι οἱ βαθμοὶ καὶ αἱ καταςάσεις ἐν διαφόροις εἴδεσι τῶν

σω-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σωμάτων, ἀφ' ὧν προκόπτουσι αἱ τοιαῦται διάφοροι ποιότητες. τὰ γὰρ σώματα καὶ τὰ σωματικὰ πάντα ποικίλως καὶ συνέρχονται, καὶ συνδιαιρεῖται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ Ὀσφρήσεως.

Ἡ Ὄσφρησις ἐστὶν αἴσθησις ὁμογενὴς τῇ γεύσει, ὅτι καὶ αὐτὴ ὅπως ἔχει τὸ ὑγρὸν καὶ ξηρὸν πρὸς ἄλληλα ἐν τοῖς αἰσθητοῖς κρίνει. διὰ γὰρ τοῦ ἀέρος καὶ δύο πλατέων καὶ ἁπαλῶν νευριτικῶν ἐκφύσεων ἀπὸ τοῦ ἐγκεφάλου ἐντὸς τῆς ῥινὸς περικεχυμένων διαβιβάζει τῶν ἔξωθεν τὰς ὀσμὰς ἐπὶ τὸ ζωτικὸν πνεῦμα.

Ἔστι δὲ ὀσμὴ ὑγρὸν εὔκρατον, ἢ δυσκραὲς ἐν τῷ ξηρῷ. ἐπὶ μὲν οὖν τῶν εὐόδμων τὸ ὑγρὸν κρίνει ἡ ὄσφρησις, ὡς εὔπεπτον εὐκράτου θερμότητος μετασχὸν, ἤτοι εὔκρατον εὐπέπτου θερμότητος μετειληφός. ἐπὶ δὲ τῶν δυσωδῶν, ὡς ἐκζέσαν ταύτης ἀπερρύη λυθέν. τὰ γὰρ ὄζοντα ὑγρὰ πάντως, ἀλλὰ θερμότητος ἀπολελῦσθαι δοκεῖ ἐκζέσαντα. τὰ δὲ δύσοσμα, μὴ αὐτάρκους τυχεῖν εὐπεψίας τὸ ὑγρὸν ἐν τῷ ξηρῷ καταγγέλλει. ἄοσμα δὲ ἐν οἷς τὸ ὑγρὸν ἤτοι πλεονάζει, ἢ ἀρκούντως τῷ ξηρῷ οὐ συνεκράθη, καὶ εἰς λόγον διαπνώσεως εἴτ' οὖν ἐκπνοῆς οὐκ ἐφικνεῖται.

Συμπνέουσι γοῦν αἱ αἰσθήσεις ἐνίοτε καί ποτε ὑπεναντιοῦνται· τὰ γὰρ μὴ ὑπεναντιούμενα ἁφῇ καὶ ὀσφρήσει πρόσφορα τὰ πολλὰ δοκεῖ ἡμῖν εἰς γεῦσιν. τὰ δὲ καὶ ταῖς τρισὶ φιλούμενα ἁφῇ καὶ γεύσει καὶ ὀσμῇ προσφορώτατα. ἡ μὲν γὰρ ὑπεναντιότης τῶν ἰν-

διαι-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

διαιτέραν τῶν αἰσθητῶν γνωρίζει φύσιν, ἡ δ' ἕνωσις καὶ σύμπνοια τέρψιν μείζονα, καὶ πλείονα τὴν ὠφέλειαν τοῖς αὐτάρκως χρωμένοις ἐμποιεῖ. ἔστιν οὖν ὡς ἐν τῇ συστάσει τῇ οὐσιώδει τῶν εἰδῶν ἕνωσις καὶ ὑπεναντίωσις τῶν στοιχειακῶν πρώτων ποιοτήτων κατὰ διαφόρους λόγους, οὕτω τοι καὶ ἐπὶ τῶν δευτέρων αὐτῶν αἰσθητικῶν ποιοτήτων.

## Πόρισμα α'.

Ἡ συνδρομὴ ἄρα τῶν αἰσθήσεων ἐν τῇ αὐτῇ ἐστὶ μεσοτήτων μεσότης, ταὐτὸν εἰπεῖν ἀναλογία ἀναλογιῶν, εἴτ' οὖν σύνθεσις, ἢ ἄλλως εἰπεῖν ἁρμονία. διὸ καὶ τέρπει μᾶλλον.

## Πόρισμα β'.

Ἡ ὄσφρησις συντελεῖ μάλιστα πρὸς γεῦσιν καὶ τροφὴν τοῖς ἀλόγοις ζώοις. ταύτῃ γὰρ τὰ πλείω, εἰ μὴ πάντα, ὁδηγῷ χρῆται πρὸς τὸ τρόφιμον. πτηνὰ γὰρ καὶ χερσαῖα δι' ὀσφρήσεως τὴν τροφὴν διώκουσι, καὶ δι' ὀσφρήσεως αἱροῦνται, καὶ τὸ ἄτροφον ἢ ὅλως τὸ λυμαντικὸν τῆς αὐτῶν συστάσεως καταπατοῦσι καὶ παρέρχονται δοκοῦντα διαγινώσκειν. κρίνουσι γὰρ τῇ ὀσμῇ.